μιμούμενον τὰ τοῦ Καλλικλέους ῥήματα· ἀλλὰ τὸ ἰάσασθαι μόνον· Σωκράτους γὰρ μόνου καὶ τῶν αὐτοῦ μαθητῶν ἀκριβῶς θεραπεύειν τὰ τῆς ψυχῆς πάθη.

p. 447b. φίλος γάρ μοι Γοργίας.

φησὶν ὁ Χαιρεφῶν· ὅτι φίλος μοι ἐστὶν ὁ Γοργίας καὶ 8
πείσω αὐτὸν πάλιν ἐπιδείξασθαι, ὦ Σώκρατες· εἰ μὲν βούλει νῦν, εἰ δὲ μὴ νῦν, ἐσαῦθις. τὸ δὲ ἐσαῦθις ἔμφασιν ἔχει τοῦ ἄλλοις, ὅταν βούλωνται· οὐ γὰρ ἐπιδείξεως αὐτοῦ ἔχρηζεν. ἐκ δὲ τοῦ εἰπεῖν, ὅτι φίλος μοι ἐστὶν καὶ πείθω αὐτόν, σημαίνει τὸ ἑτεροκίνητον τοῦ Γοργίου καὶ εἰκῇ παντὶ ἀκολουθοῦντος καὶ πειθομένου.

p. 447b. τί δ' ὦ Χαιρεφῶν ἐπιθυμεῖ Σωκράτης;

ἐπειδὴ οἶδεν ὁ Καλλικλῆς, ὅτι πάντες αὐτοῦ ἠκροάσαντο, 9
μόνος δὲ ὁ Σωκράτης οὔ, ἐπίσταται δὲ αὐτὸν κῦρος μέγα πολιτείας εἶναι, καὶ ὡς δεῖ καὶ αὐτὸν ἀκοῦσαι, φησὶν ὅτι· ἆρα γάρ, ὦ Χαιρεφῶν, ἐπιθυμεῖ ἀκοῦσαι, καὶ πάλιν βλέπε, ὅτι οὐκ εἶπεν· τί γὰρ βούλεται ἀκοῦσαι, ἀλλ' ἐπεθύμει, ὡς ἂν περὶ ἡδονὰς ἠσχολημένος καὶ ἐπιθυμίαις αἰσχραῖς χαίρων.

p. 447b. ἐπ' αὐτό γέ τοι τοῦτο πάρεσμεν.

ὁ Χαιρεφῶν μέσην τάξιν ἔχων οὐδὲ εἶπεν, ὅτι ναί, ἐρᾷ 10
Σωκράτης τοῦ ἀκοῦσαι, ἐψεύδετο γάρ· οὐ γὰρ ἔχρηζεν ὁ Σωκράτης ἀκροάσασθαι· οὔτε δὲ πάλιν, ὅτι οὔ· ἄντικρυς γὰρ ὕβριζε Γοργίαν, καὶ μάτην ἐδόκει παραγεγονέναι, ὅθεν μέσην ὁδὸν ἐβάδισεν καὶ εἶπεν, ὅτι ἐπὶ τούτῳ ἤλθομεν· σημαίνει δὲ τοῦτο μέσην τινὰ ἀπόκρισιν.

p. 447b. οὐκοῦν ὅταν βούλησθε

ὁ Καλλικλῆς φησιν, ὅτι, ὅταν θέλητε, ἔλθετε εἰς τὸν οἶκον 11
καὶ ποιῶ αὐτὸν ἐπιδείξασθαι. πάλιν δὲ καὶ ἐκ τούτου τὸ ἑτεροκίνητον τοῦ Γοργίου δείκνυται· οὕτω γὰρ περὶ αὐτοῦ τὸν λόγον προφέρει ὁ Καλλικλῆς, ὡς διὰ τοῦτο τρέφων αὐτὸν εἰς τὸν οἶκον, ἵνα, ὅταν βούληται, ποιεῖ αὐτὸν ἐπιδείκνυσθαι.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/19 UNIVERSITÄT LEIPZIG